# HERODOTI

## HISTORIAE

RECOGNOVIT
BREVIQVE ADNOTATIONE CRITICA INSTRVXIT

CAROLUS HUDE, PH.D.
SCHOLAE METROPOLITANAE RECTOR
SOC. REG. DANICAE S.

EDITIO TERTIA
TOMVS PRIOR

OXONII
E TYPOGRAPHEO CLARENDONIANO
1972 (= [3]1927)

# ΗΡΟΔΟΤΟΥ

## ΙΣΤΟΡΙΩΝ Α

Ἡροδότου Ἁλικαρνησσέος ἱστορίης ἀπόδεξις ἥδε, ὡς μήτε τὰ γενόμενα ἐξ ἀνθρώπων τῷ χρόνῳ ἐξίτηλα γένηται, μήτε ἔργα μεγάλα τε καὶ θωμαστά, τὰ μὲν Ἕλλησι, τὰ δὲ βαρβάροισι ἀποδεχθέντα, ἀκλεᾶ γένηται, τά τε ἄλλα καὶ δι' ἣν αἰτίην ἐπολέμησαν ἀλλήλοισι.

Περσέων μέν νυν οἱ λόγιοι Φοίνικας αἰτίους φασὶ 1
γενέσθαι τῆς διαφορῆς· τούτους γὰρ ἀπὸ τῆς Ἐρυθρῆς
καλεομένης θαλάσσης ἀπικομένους ἐπὶ τήνδε τὴν θάλασσαν
καὶ οἰκήσαντας τοῦτον τὸν χῶρον τὸν καὶ νῦν οἰκέουσι,
αὐτίκα ναυτιλίῃσι μακρῇσι ἐπιθέσθαι, ἀπαγινέοντας δὲ φορτία
Αἰγύπτιά τε καὶ Ἀσσύρια τῇ τε ἄλλῃ [χώρῃ] ἐσαπικνέεσθαι
καὶ δὴ καὶ ἐς Ἄργος. τὸ δὲ Ἄργος τοῦτον τὸν χρόνον 2
προεῖχε ἅπασι τῶν ἐν τῇ νῦν Ἑλλάδι καλεομένῃ χώρῃ.
ἀπικομένους δὲ τοὺς Φοίνικας ἐς δὴ τὸ Ἄργος τοῦτο διατί-
θεσθαι τὸν φόρτον. πέμπτῃ δὲ ἢ ἕκτῃ ἡμέρῃ ἀπ' ἧς ἀπίκοντο, 3
ἐξεμπολημένων σφι σχεδὸν πάντων, ἐλθεῖν ἐπὶ τὴν θάλασσαν
γυναῖκας ἄλλας τε πολλὰς καὶ δὴ καὶ τοῦ βασιλέος θυγατέρα·
τὸ δέ οἱ οὔνομα εἶναι, κατὰ τὠυτὸ τὸ καὶ Ἕλληνες λέγουσι,
Ἰοῦν τὴν Ἰνάχου. ταύτας στάσας κατὰ πρύμνην τῆς νεὸς 4
ὠνέεσθαι τῶν φορτίων τῶν σφι ἦν θυμὸς μάλιστα, καὶ τοὺς

1 Ἁλικαρνησσέος A C[c]: -νησσέως C[1]: -νασσῆος P: -νασῆος R S V b: Θουρίου Aristot. rhet. iii 9, Plut. mor. 604 ἀπόδειξις R S V b 3 θαυμ. S V: θωυμ. rell. 4 ἀποδειχθ. P[1] S[1] V 5 ἐπολέμουν P 6 αἰτίους post διαφορῆς R S V b 10 ἀπαγειν. φορτία S V 11 χώρῃ om. Paris. 1405 15 ἡμέρα S V 16 ἐξημπολ. b 17 βασιλῆος R S V b 18 alt. τὸ Aldus: ὃ L 19 στήσας S V νηὸς R S V P[c] b 20 σφι ἦν] κεν ἦν S[1]: κινην V[1]: κινοιη V[2]

Φοίνικας διακελευσαμένους ὁρμῆσαι ἐπ' αὐτάς. τὰς μὲν δὴ
πλεῦνας τῶν γυναικῶν ἀποφυγεῖν, τὴν δὲ Ἰοῦν σὺν ἄλλῃσι
ἁρπασθῆναι· ἐσβαλομένους δὲ ἐς τὴν νέα οἴχεσθαι ἀπο-
2 πλέοντας ἐπ' Αἰγύπτου. οὕτω μὲν Ἰοῦν ἐς Αἴγυπτον
ἀπικέσθαι λέγουσι Πέρσαι, οὐκ ὡς Ἕλληνες, καὶ τῶν
ἀδικημάτων πρῶτον τοῦτο ἄρξαι· μετὰ δὲ ταῦτα Ἑλλήνων
τινάς (οὐ γὰρ ἔχουσι τοὔνομα ἀπηγήσασθαι) φασὶ τῆς Φοι-
νίκης ἐς Τύρον προσσχόντας ἁρπάσαι τοῦ βασιλέος τὴν
θυγατέρα Εὐρώπην. εἴησαν δ' ἂν οὗτοι Κρῆτες. ταῦτα μὲν
δὴ ἴσα πρὸς ἴσα σφι γενέσθαι· μετὰ δὲ ταῦτα Ἕλληνας
2 αἰτίους τῆς δευτέρης ἀδικίης γενέσθαι. καταπλώσαντας γὰρ
μακρῇ νηὶ ἐς Αἶάν τε τὴν Κολχίδα καὶ ἐπὶ Φᾶσιν ποταμόν,
ἐνθεῦτεν διαπρηξαμένους καὶ τἆλλα τῶν εἵνεκεν ἀπίκατο,
3 ἁρπάσαι τοῦ βασιλέος τὴν θυγατέρα Μηδείην. πέμψαντα δὲ
τὸν Κόλχον [βασιλέα] ἐς τὴν Ἑλλάδα κήρυκα αἰτέειν τε δίκας
τῆς ἁρπαγῆς καὶ ἀπαιτέειν τὴν θυγατέρα· τοὺς δὲ ὑποκρί-
νασθαι ὡς οὐδὲ ἐκεῖνοι Ἰοῦς τῆς Ἀργείης ἔδοσάν σφι δίκας
**3** τῆς ἁρπαγῆς· οὐδὲ ὦν αὐτοὶ δώσειν ἐκείνοισι. δευτέρῃ δὲ
λέγουσι γενεῇ μετὰ ταῦτα Ἀλέξανδρον τὸν Πριάμου ἀκηκοότα
ταῦτα ἐθελῆσαί οἱ ἐκ τῆς Ἑλλάδος δι' ἁρπαγῆς γενέσθαι
γυναῖκα, ἐπιστάμενον πάντως ὅτι οὐ δώσει δίκας· οὐδὲ γὰρ
2 ἐκείνους διδόναι. οὕτω δὴ ἁρπάσαντος αὐτοῦ Ἑλένην τοῖσι
Ἕλλησι δόξαι πρῶτον πέμψαντας ἀγγέλους ἀπαιτέειν τε
Ἑλένην καὶ δίκας τῆς ἁρπαγῆς αἰτέειν. τοὺς δὲ προϊσχο-
μένων ταῦτα προφέρειν σφι Μηδείης τὴν ἁρπαγήν, ὡς οὐ
δόντες αὐτοὶ δίκας οὐδὲ ἐκδόντες ἀπαιτεόντων βουλοίατό σφι
4 παρ' ἄλλων δίκας γίνεσθαι. μέχρι μὲν ὦν τούτου ἁρπαγὰς

1 *διακελευσμ.* S V 2 *ἀποφυγέειν* A C P 3 *ἐσβαλλ.* S V 4 *Αἰγύπτου*] *Αἴγυπτον* P[1] 5 *ὡσ* + (ι er.) C 6 *τοῦτο πρῶτον* P 8 *προσχ.* L *τὴν* om. R S V b 9 *οὗτω* S V *μὲν* om. P[1] R S V b 10 *δ'* S *σφι* ante *πρὸς* R S V b 12 *τε* om. P[1] 13 *ἐντεῦθεν* R S V b: *ἐντεῦτεν* C *ἕνεκεν* S V *ἀπίκοντο* P R S V b 14 *τὴν* om. P[1] R S V b *Μηδίην* R S V b 15 *τῶν* R b *Κόλχων* A C P R b *βασιλέα* om. S V 17 *σφίσι* b 21 *οὐδὲ* Schaefer: *οὔτε* L 23 *τε*] *τὴν* S V 25 *Μηδίης* R S V b 26 *δίκας* + + R 27 *τούτων* R S V b



μούνας εἶναι παρ' ἀλλήλων, τὸ δὲ ἀπὸ τούτου Ἕλληνας δὴ
μεγάλως αἰτίους γενέσθαι· προτέρους γὰρ ἄρξαι στρα-
τεύεσθαι ἐς τὴν Ἀσίην ἢ σφέας ἐς τὴν Εὐρώπην. τὸ μὲν 2
νυν ἁρπάζειν γυναῖκας ἀνδρῶν ἀδίκων νομίζειν ἔργον εἶναι,
τὸ δὲ ἁρπασθεισέων σπουδὴν ποιήσασθαι τιμωρέειν ἀνοήτων,
τὸ δὲ μηδεμίαν ὤρην ἔχειν ἁρπασθεισέων σωφρόνων· δῆλα
γὰρ δὴ ὅτι, εἰ μὴ αὐταὶ ἐβούλοντο, οὐκ ἂν ἡρπάζοντο. σφέας 3
μὲν δὴ τοὺς ἐκ τῆς Ἀσίης λέγουσι Πέρσαι ἁρπαζομένων τῶν
γυναικῶν λόγον οὐδένα ποιήσασθαι, Ἕλληνας δὲ Λακεδαι-
μονίης εἵνεκεν γυναικὸς στόλον μέγαν συναγεῖραι καὶ ἔπειτα
ἐλθόντας ἐς τὴν Ἀσίην τὴν Πριάμου δύναμιν κατελεῖν. ἀπὸ 4
τούτου αἰεὶ ἡγήσασθαι τὸ Ἑλληνικὸν σφίσι εἶναι πολέμιον.
τὴν γὰρ Ἀσίην καὶ τὰ ἐνοικέοντα ἔθνεα βάρβαρα οἰκηιεῦνται
οἱ Πέρσαι, τὴν δὲ Εὐρώπην καὶ τὸ Ἑλληνικὸν ἥγηνται
κεχωρίσθαι.

Οὕτω μὲν Πέρσαι λέγουσι γενέσθαι, καὶ διὰ τὴν Ἰλίου **5**
ἅλωσιν εὑρίσκουσι σφίσι ἐοῦσαν τὴν ἀρχὴν τῆς ἔχθρης τῆς
ἐς τοὺς Ἕλληνας. περὶ δὲ τῆς Ἰοῦς οὐκ ὁμολογέουσι 2
Πέρσῃσι οὕτω Φοίνικες· οὐ γὰρ ἁρπαγῇ σφέας χρησαμένους
λέγουσι ἀγαγεῖν αὐτὴν ἐς Αἴγυπτον, ἀλλ' ὡς ἐν τῷ Ἄργεϊ
ἐμίσγετο τῷ ναυκλήρῳ τῆς νεός· ἐπεὶ δὲ ἔμαθε ἔγκυος ἐοῦσα,
αἰδεομένη τοὺς τοκέας, οὕτω δὴ ἐθελοντὴν αὐτὴν τοῖσι Φοίνιξι
συνεκπλῶσαι, ὡς ἂν μὴ κατάδηλος γένηται. ταῦτα μέν νυν 3
Πέρσαι τε καὶ Φοίνικες λέγουσι. ἐγὼ δὲ περὶ μὲν τούτων
οὐκ ἔρχομαι ἐρέων ὡς οὕτως ἢ ἄλλως κως ταῦτα ἐγένετο,
τὸν δὲ οἶδα αὐτὸς πρῶτον ὑπάρξαντα ἀδίκων ἔργων ἐς τοὺς
Ἕλληνας, τοῦτον σημήνας προβήσομαι ἐς τὸ πρόσω τοῦ
λόγου, ὁμοίως σμικρὰ καὶ μεγάλα ἄστεα ἀνθρώπων ἐπεξιών.

4 *ἔργον νομίζειν* b 6 *μηδεμίην* C P R S V *ὥρην* C P R b: *ὥραν* S V *ἁρπασθ.* del. Cobet 7 *αὗται* R S V b *ἐβούλοντο* Plut. mor. 856: *ἐβουλέατο* L *ἡρπάζετο* C[1] 8 *ἁρπαζομενέων* A C P S V 13 *βάρβαρα* del. Stein *οἰκηιεῦνται* (?) V: *οἰκειεῦνται* P R S b: *οἰκειοῦνται* A C 16 *Πέρσαι* ante *μὲν* R: om. S V 18 *ἐς* om. V *οὐχ* L 20 *ἄγειν* R S V b 21 *νηὸς* P[1] R S V b *οὖσα* P 22 *αἰδεομένην* P[m] 24 *τε* om. P[1] R S V b 27 *σημήνας*] incipit D *ἐς τὸ* om. d b 28 *μικρὰ* L

4 τὰ γὰρ τὸ πάλαι μεγάλα ἦν, τὰ πολλὰ αὐτῶν σμικρὰ γέγονε,
τὰ δὲ ἐπ' ἐμεῦ ἦν μεγάλα, πρότερον ἦν σμικρά. τὴν ἀνθρω-
πηίην ὦν ἐπιστάμενος εὐδαιμονίην οὐδαμὰ ἐν τὠυτῷ μένουσαν
ἐπιμνήσομαι ἀμφοτέρων ὁμοίως.

6 Κροῖσος ἦν Λυδὸς μὲν γένος, παῖς δὲ Ἀλυάττεω,
τύραννος δὲ ἐθνέων τῶν ἐντὸς Ἅλυος ποταμοῦ, ὃς ῥέων ἀπὸ
μεσαμβρίης μεταξὺ Συρίων ⟨τε⟩ καὶ Παφλαγόνων ἐξίει πρὸς
2 βορῆν ἄνεμον ἐς τὸν Εὔξεινον καλεόμενον πόντον. οὗτος ὁ
Κροῖσος βαρβάρων πρῶτος τῶν ἡμεῖς ἴδμεν τοὺς μὲν κατε-
στρέψατο Ἑλλήνων ἐς φόρου ἀπαγωγήν, τοὺς δὲ φίλους
προσεποιήσατο. κατεστρέψατο μὲν Ἴωνάς τε καὶ Αἰολέας
καὶ Δωριέας τοὺς ἐν τῇ Ἀσίῃ, φίλους δὲ προσεποιήσατο
3 Λακεδαιμονίους. πρὸ δὲ τῆς Κροίσου ἀρχῆς πάντες Ἕλληνες
ἦσαν ἐλεύθεροι. τὸ γὰρ Κιμμερίων στράτευμα τὸ ἐπὶ τὴν
Ἰωνίην ἀπικόμενον, Κροίσου ἐὸν πρεσβύτερον, οὐ κατα-
7 στροφὴ ἐγένετο τῶν πολίων, ἀλλ' ἐξ ἐπιδρομῆς ἁρπαγή. ἡ
δὲ ἡγεμονίη οὕτω περιῆλθε, ἐοῦσα Ἡρακλειδέων, ἐς τὸ γένος
2 τὸ Κροίσου, καλεομένους δὲ Μερμνάδας. ἦν Κανδαύλης, τὸν
οἱ Ἕλληνες Μυρσίλον ὀνομάζουσι, τύραννος Σαρδίων, ἀπό-
γονος δὲ Ἀλκαίου τοῦ Ἡρακλέος. Ἄγρων μὲν γὰρ ὁ Νίνου
τοῦ Βήλου τοῦ Ἀλκαίου πρῶτος Ἡρακλειδέων βασιλεὺς
3 ἐγένετο Σαρδίων, Κανδαύλης δὲ ὁ Μύρσου ὕστατος. οἱ δὲ
πρότερον Ἄγρωνος βασιλεύσαντες ταύτης τῆς χώρης ἦσαν
ἀπόγονοι Λυδοῦ τοῦ Ἄτυος, ἀπ' ὅτευ ὁ δῆμος Λύδιος ἐκλήθη
4 ὁ πᾶς οὗτος, πρότερον Μηίων καλεόμενος. παρὰ τούτων
Ἡρακλεῖδαι ἐπιτραφθέντες ἔσχον τὴν ἀρχὴν ἐκ θεοπροπίου,
ἐκ δούλης τε τῆς Ἰαρδάνου γεγονότες καὶ Ἡρακλέος, ἄρξαντες
[μὲν] ἐπὶ δύο τε καὶ εἴκοσι γενεὰς ἀνδρῶν, ἔτεα πέντε τε καὶ
πεντακόσια, παῖς παρὰ πατρὸς ἐκδεκόμενος τὴν ἀρχήν, μέχρι

1 σμικρὰ αὐτῶν A C P 2 ἀνθρωπίην D : -πείην $P^{1}$ R b : -πίνην S V 3 οὐδαμοῦ S V τούτω D : τῶ αὐτῶ S V 7 Συρίων Bredow : Σύρων L τε Dion. Hal. comp. verb. 4 9 ἴσμεν R $V^{1}$(?) τοὺς μὲν om. S V 12 τῇ supra v. $D^{1}$ 19 καλέουσι S 20 Ἡρακλέους d C b Ἄργων $R^{1}$ ὁ . . . Ἀλκαίου om. d b 25 Μήων d (ι ins. $D^{1}$) C b τούτων δὲ d b 28 μὲν om. d b pr. τε om. d b



Κανδαύλεω τοῦ Μύρσου. οὗτος δὴ ὦν ὁ Κανδαύλης ἠράσθη 8
τῆς ἑωυτοῦ γυναικός, ἐρασθεὶς δὲ ἐνόμιζέ οἱ εἶναι γυναῖκα
πολλὸν πασέων καλλίστην. ὥστε δὲ ταῦτα νομίζων, ἦν γάρ
οἱ τῶν αἰχμοφόρων Γύγης ὁ Δασκύλου ἀρεσκόμενος μάλιστα,
τούτῳ τῷ Γύγῃ καὶ τὰ σπουδαιέστερα τῶν πρηγμάτων ὑπερετί-
θετο ὁ Κανδαύλης καὶ δὴ καὶ τὸ εἶδος τῆς γυναικὸς ὑπερεπ-
αινέων. χρόνου δὲ οὐ πολλοῦ διελθόντος, χρῆν γὰρ 2
Κανδαύλῃ γενέσθαι κακῶς, ἔλεγε πρὸς τὸν Γύγην τοιάδε·
Γύγη, οὐ γάρ σε δοκέω πείθεσθαί μοι λέγοντι περὶ τοῦ
εἴδεος τῆς γυναικός (ὦτα γὰρ τυγχάνει ἀνθρώποισι ἐόντα
ἀπιστότερα ὀφθαλμῶν), ποίει ὅκως ἐκείνην θεήσεαι γυμνήν.
ὁ δὲ μέγα ἀμβώσας εἶπε· Δέσποτα, τίνα λέγεις λόγον οὐκ 3
ὑγιέα, κελεύων με δέσποιναν τὴν ἐμὴν θεήσασθαι γυμνήν;
ἅμα δὲ κιθῶνι ἐκδυομένῳ συνεκδύεται καὶ τὴν αἰδῶ γυνή.
πάλαι δὲ τὰ καλὰ ἀνθρώποισι ἐξεύρηται, ἐκ τῶν μανθάνειν 4
δεῖ· ἐν τοῖσι ἓν τόδε ἐστί, σκοπέειν τινὰ τὰ ἑωυτοῦ. ἐγὼ δὲ
πείθομαι ἐκείνην εἶναι πασέων γυναικῶν καλλίστην, καί σεο
δέομαι μὴ δέεσθαι ἀνόμων. ὁ μὲν δὴ λέγων τοιαῦτα ἀπε- 9
μάχετο, ἀρρωδέων μή τί οἱ ἐξ αὐτῶν γένηται κακόν. ὁ δ'
ἀμείβετο τοισίδε· Θάρσει, Γύγη, καὶ μὴ φοβεῦ μήτε ἐμέ, ὥς
σεο πειρώμενος λέγω λόγον τόνδε, μήτε γυναῖκα τὴν ἐμήν,
μή τί τοι ἐξ αὐτῆς γένηται βλάβος· ἀρχὴν γὰρ ἐγὼ μηχανή-
σομαι οὕτω ὥστε μηδὲ μαθεῖν μιν ὀφθεῖσαν ὑπὸ σεῦ. ἐγὼ 2
γάρ σε ἐς τὸ οἴκημα ἐν τῷ κοιμώμεθα ὄπισθε τῆς ἀνοιγομένης
θύρης στήσω· μετὰ δ' ἐμὲ ἐσελθόντα παρέσται καὶ ἡ γυνὴ ἡ
ἐμὴ ἐς κοῖτον. κεῖται δὲ ἀγχοῦ τῆς ἐσόδου θρόνος· ἐπὶ
τοῦτον τῶν ἱματίων κατὰ ἓν ἕκαστον ἐκδύνουσα θήσει καὶ
κατ' ἡσυχίην πολλὴν παρέξει τοι θεήσασθαι. ἐπεὰν δὲ ἀπὸ 3

1 οὖν R S V 5 σπουδεέστερα D : σπουδαιότερα P πραγμ. R S V 11 θεήσηαι S $V^{1}$(?) 12 μέγα om. A C P Dion. comp. verb. 3 (ἀναβ.) οὐχ A D R V b 13 θεάσ. S V 16 τινα σκοπέειν D : τινα σκοπεύειν R S V : σκοπεύειν τινὰ b 19 ὀρρωδέων C $D^{c}$ $A^{2}$ αὐτῶν P : αὐτέων rell. 20 τοῖσδε A C P Const. : τοιάδε rell. 21 πειρώμενος C P Dion. Const. : πειρώμενον A D S b : πειρόμενον R V λέγω] post λόγον (τὸν λ. D) Dion. : om. R S V b 26 κοιτῶνα d b : κοίτην Dion. 28 το V